των μερικευόμεναι. Καὶ μερικαὶ μὲν κυρίως αἱ ἐποπτικαὶ τὴν κρίσιν (§. σμϛ΄.), ἐφ᾽ ὧν δηλαδὴ ἡ τῶν ὅρων σχέσις, δήλη καθίσταται ἡμῖν αἰσθήσει μόνῃ καὶ πείρᾳ· Οἷον κινεῖται μὲν ἥλιος, μεταβάλλει δὲ ἡ σελήνη τὸ σέλας· Καθόλου δὲ αἱ ἐννοηματικαὶ, ἐφ᾽ ὧν τῆς κατὰ τὸν ἕτερον τῶν ὅρων ἐννοίας, ἡ τοῦ ἑτέρου ἀπήρτηται· οἷον τὸ ἀμερὲς ἥκιστα διαιρεῖται· τὸ ὅλον μέρη ἔχον ἐστίν (1). Ἐπὶ μὲν οὖν τῶν πρώτων οὐκ ἐνορᾶται τὸ ἀναγκαῖον τῆς σχέσεως· τίς γὰρ ἡ ἀνάγκη τοῦ κινεῖσθαι μὲν τὸν ἥλιον, τρεπομένην δὲ ὀπτάνεσθαι τὴν σελήνην; καὶ τὸν μὲν χρυσὸν βαρὺν εἶναι, τὸν δὲ μαγνήτην τὸ σιδήριον προσεφέλκεσθαι; Ἀλλ᾽ ἐπὶ τῶν δευτέρων ἡ ἀνάγκη ἐκ τοῦ λόγου καταφανής· οὕτω γὰρ τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ συνείληπται, ὡς μηδ᾽ ἐξεῖναι τὰ τοιαῦτα ἄλλως νοεῖν.

§. ωοβ΄. Τοῦ τοίνυν τὰς μερικὰς τῶν προτάσεων καθολικεύειν ἡ μέθοδος ἐστὶ διὰ τῆς Ἐπαγωγῆς, (§. φξε΄.). Οἷον ἅπας χρυσὸς διὰ τοῦ βασιλικοῦ λεγομένου ὕδατος ἀναλύεται· Καὶ οὐδεὶς ἰὸν ἀποφέρει. Ἅπας ὑδράργυρος πυρὸς δυνάμει ἐξαναθυμιᾶται· Καὶ οὐδεὶς τήκεται. Χρεία δὲ πρὸς τὰς τοιάσδε Ἐπαγωγὰς ἀμφιλαφοῦς τῆς πείρας, καὶ παρατηρήσεως· συμβαίνει γὰρ ἐνίοτέ τισιν ἀπαντᾶν ἐξαιρέσεσιν, ἃς οὐκ ἄν τις ἤλπισε. Διὸ καὶ τὸ καθόλου ἐπὶ τῶν τοιούτων ἐστί πως ὕποπτον (§. φο΄.). Κἂν δὲ μηδεμία ὅλως ὑπεισῄει τὴν ψυχὴν ὑπόνοια, ὡς ἐπὶ τῶν αἰσθήσει προδηλοτάτων, καὶ ὧν πάρεστιν ὅσαι ὧραι βουλομένοις πεῖραν λαβεῖν, τὸ μέντοι καθόλου οὐδὲ τότε ἀκραιφνὲς ἂν εἴη καὶ τέλεον, μὴ ἐξὸν τὸν τῆς κατηγορίας λόγον ἐν τῷ ἀναγκαίῳ τῆς τῶν ὅρων σχέσεως συνιδεῖν, καὶ περινοῆ-

(1) Τούτων τὰς πρώτας ὁ μὲν Λώκιος, propositions sur l'existence (προτάσεις ἐπὶ ὑπάρξει). Ὁ δὲ Λεϊβνίτιος, propositions de fait (προτάσεις ἐπὶ τῷ γινομένῳ) ἀποκαλοῦσι. Τὰς δὲ δευτέρας, ὁ μὲν sur la dependance des idees, (ἐπὶ τῇ συναρτήσει καὶ ἀλληλουχίᾳ τῶν ἰδεῶν), ὁ δὲ propositions de raisons (προτάσεις τοῦ λόγου. (Ἐν τοῖς περὶ τοῦ Νοῦ ἑκάτερος Βιβλ. Δ΄. Κεφ. ια΄. §. 13.). Ἐν αἷς ὁ Λεϊβνίτιος καὶ τρίτον εἶδος μικτῶν καταλέγει προτάσεων τῶν ἐκ προκειμένων, τῶν μὲν κατὰ τὰς πρώτας, τῶν δὲ κατὰ τὰς δευτέρας, ἐπιφερομένων· ὡς ἐπὶ τοῖς Γεωγραφικοῖς φησὶ, καὶ τοῖς Ἀστρονομικοῖς τῶν θεωρημάτων, ἐν οἷς ἡ τῶν φαινομένων παρατήρησις, πρὸς ἐπιφορὰν τῷ ἐκ τῆς Γεωμετρίας καὶ Ἀριθμητικῆς λόγῳ συνάπτεται. Καίτοι καὶ ταύτας τῷ ἀσθενεστέρῳ ἕπεσθαι μέρει φησίν (Αὐτ.).



νοῆσαι, ὡς εἴρηται (§. ἀνωτ.). Οὗ χάριν κἂν ταῖς καθολικευομέναις τις αὐτὰς, ἢ ἐν ταῖς καθόλου εἰκότως τάξειεν.

§. ωογ΄. Ἔστι δὲ καὶ ἄλλως τὴν ἐπὶ μέρους πρότασιν καθολικεύειν μεθόδῳ τοιᾷδε. Ζητείσθω ὁ λόγος δι᾽ ὃν τὸ κατηγορούμενον τῷ ἐν μέρει προσάπτεται ὑποκειμένῳ. Τοῦ γὰρ ὑποκειμένου τῷ τοιῷδε λόγῳ συναφθέντος, καθόλου τὸ αὐτὸ κατηγορηθήσεται. Οἷόν τις ἄνθρωπος πένης· τίνος δὴ χάριν; ὅτι τῶν πρὸς τὸ ζῆν ἀμοιρεῖ ἀναγκαίων· Οὐκοῦν πᾶς ἄνθρωπος ὁ τῶν πρὸς τὸ ζῆν ἀναγκαίων ἀμοιρῶν ἐστὶ πένης. Τὶς φιλόσοφος ἐστὶ μεμπτέος. Τί δήποτε; ὅτι τυχὸν οὐχὶ συμφώνως ἐστὶ βιοτεύων τῷ ἐπαγγέλματι. Πᾶς ἄρα φιλόσοφος ὁ μὴ συμφώνως βιοτεύων τῷ ἐπαγγέλματι ἐστὶ μεμπτέος.

§. ωοδ΄. Πρόδηλον δὲ ὅτι τῷ τὴν πρότασιν μερικεύσοντι, ἐπὶ τῶν τοιούτων δεήσει τὸν αἰτιώδη λόγον ἀπὸ τοῦ ὑποκειμένου ἀπάγειν· ἐφ᾽ ὧν δ᾽ οὐχ οἷόντε διὰ τὸ ἀναγκαῖον τῆς τῶν ὅρων σχέσεως, γίνεται μὲν ἡ ἐπὶ τὴν ὑπάλληλον μέθοδος, ἡ μέντοι πρότασις κυρίως μερικὴ οὐκ ἔσται, ἀλλὰ μερικευομένη· προσλαβοῦσα μὲν ἐκ τῆς διὰ τοῦ προσδιορισμοῦ συστολῆς τὸ ἐν μέρει, διασώζουσα δὲ τὸ καθόλου εἶναι, ὡς ἐκ τῆς τῶν ὅρων δυνάμεως. Οἷον τὶς ἄνθρωπος ζῶον. Οὐ πᾶς κύκλος τετράγωνος.

## Μέθοδος Ἀξιωμάτων.

### §. ωοε΄.

Ἔστι δὴ τὸ Ἀξίωμα ἀπόφανσις ἐκ τοῦ ταυτισμοῦ ἢ τῆς ἐναλληλίας τῶν ὅρων, τὸ ἐναργὲς, καὶ βέβαιον, καὶ αὐτόπιστον ἔχουσα. Ἐκ μὲν τοῦ ταυτισμοῦ; οἷον ἕκαστον ἐστὶν ὅπερ ἐστὶν, καὶ οὐδὲν ἐστὶν ὃ οὐκ ἔστιν. Ἐκ δὲ τῆς ἐναλληλίας. οἷον τὸ ὅλον μέρη ἔχον ἐστὶ, τό, τε μέρος οὐκ ἔστιν ἴσον τῷ ὅλῳ αὐτοῦ. Ἐκεῖνα μὲν γὰρ ταυτίζεται· τούτων δὲ θάτερον θατέρῳ ἀναγκαίως συνείληπται. Καθ᾽ ἑκάτερόν τε εἶδος ἡ πίστις τῇ φύσει βέβηκε τοῦ Νοητικοῦ, τῇ τὰ ὑπ᾽ ἀλλήλων ἀναιρούμενα εἰς ἓν συλλαβεῖν, καὶ ἅμα νοῆσαι ἀδυνατούσῃ. Εἴτε γάρ τις θείη τὸ αὐτὸ καὶ μὴ, εἴτ᾽ ἐν θατέρῳ θάτερον καὶ μὴ, ἐπίσης ὁ Νοῦς ἀνοηταίνων ὀφθήσεται, ὡς ἐξ ἑαυτοῦ τὴν ἣν προεῖχε νόησιν καθαιρῶν, καὶ τὴν ᾗπερ γνωστικῶς ἠλλοίωται ἀλλοίωσιν δι᾽ ἀντιπιπτούσης ἀλλοιώσεως (§. ιϛ΄.). Περιτρέπων· Διὸ καὶ Κριτήριον ἀλη-